ναυαγίου δ' ἂν ἐπιλάβοι', ἐγὼ δ' ἅπαξ
ἀψάμενός εἰμι καὶ φιλήcαc ἐν βυθῶι.

## 714 (550–551 K)

Ivlianvs Halicarnassensis comment. in Iob (*Rh. Mus.* lv [1900], 334). *μαρτυρεῖ δέ μοι τῶι λόγωι ὁ cὸc ὑποφήτηc Μένανδροc·*

[ὡc τοῖcιν εὖ φρονοῦcι cύμμαχοc Τύχη.]
ἅπαντι δαίμων ἀνδρὶ cυμπαρίcταται
εὐθὺc γενομένωι μυcταγωγὸc τοῦ βίου
ἀγαθόc· κακὸν γὰρ δαίμον' οὐ νομιcτέον
εἶναι βίον βλάπτοντα χρηcτόν, οὐδ' ἔχειν
κακίαν, ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν.
ἀλλ' οἱ γενόμενοι τοῖc τρόποιc αὐτοὶ κακοὶ
πολλὴν δ' ἐπιπλοκὴν τοῦ βίου πεποημένοι
†εἰπάντα τὴν ἑαυτῶν ἀβουλίαν ἐκτρίψαντεc†
ἀποφαίνουcι δαίμον' αἴτιον
καὶ κακὸν ἐκεῖνόν φαcιν αὐτοὶ γεγονότεc.

## 718 (535 K)

[Lvcianvs,] *Amores* 43. *καταράcεται Προμηθεῖ τὴν Μενάνδρειον ἐκείνην ἀπορρήξαc φωνήν·*

εἶτ' οὐ δικαίωc προcπεπατταλευμένον
γράφουcι τὸν Προμηθέα πρὸc ταῖc πέτραιc
καὶ γίνετ' αὐτῶι λαμπάc, ἄλλο δ' οὐδὲ ἓν
ἀγαθόν; ὃ μιcεῖν οἶμ' ἅπανταc τοὺc θεούc,